# Dámón Athénský

Testimonia DK 37 A

**A 1** = Stefanos Grammatikos Byz., Ethnika (epitomé), p. 482 Meineke
Ὄα. ὁ μέντοι δημότης Ὄαθεν λέγεται ᾿Δάμων Δαμωνίδου Ὄαθεν᾿.

**A 2** /1 = Platón, Laches 180d
καὶ γὰρ αὐτῶι μοι ἔναγχος ἄνδρα προυξένησε τῶι ὑεῖ διδάσκαλον μουσικῆς, ᾿Αγαθοκλέους μαθητὴν Δάμωνα, ἀνδρῶν χαριέστατον οὐ μόνον τὴν μουσικήν, ἀλλὰ καὶ τἆλλα ὁπόσου βούλει ἄξιον συνδιατρίβειν τηλικούτοις νεανίσκοις.

**A 2** /2 = Schol. Alcib. 118c
Πυθοκλείδης μουσικὸς ἦν τῆς σεμνῆς μουσικῆς διδάσκαλος καὶ Πυθαγόρειος, οὗ μαθητὴς ᾿Αγαθοκλῆς, οὗ Λαμπροκλῆς, οὗ Δάμων.

**A 3** = Isokratés, Antidosis XV, 235 Mathieu
Περικλῆς δὲ δυοῖν ἐγένετο μαθητής, ᾿Αναξαγόρου τε τοῦ Κλαζομενίου καὶ Δάμωνος τοῦ κατ᾿ ἐκεῖνον τὸν χρόνον φρονιμωτάτου δόξαντος εἶναι τῶν πολιτῶν.

**A 4** = Plútarchos, Pericles 4
διδάσκαλον δ᾿ αὐτοῦ τῶν μουσικῶν οἱ πλεῖστοι Δάμωνα γενέσθαι λέγουσιν, οὗ φασι δεῖν τοὔνομα βραχύνοντας τὴν προτέραν συλλαβὴν ἐκφέρειν. ᾿Αριστοτέλης (fr. 401 R.) δὲ παρὰ Πυθοκλείδηι μουσικὴν διαπονηθῆναι τὸν ἄνδρα φησίν. ὁ δὲ Δάμων ἔοικεν ἄκρος ὢν σοφιστὴς καταδύεσθαι μὲν εἰς τὸ τῆς μουσικῆς ὄνομα πρὸς τοὺς πολλοὺς ἐπικρυπτόμενος τὴν δεινότητα, τῶι δὲ Περικλεῖ συνῆν καθάπερ ἀθλητῆι τῶν πολιτικῶν ἀλείπτης καὶ διδάσκαλος. οὐ μὴν ἔλαθεν ὁ Δάμων τῆι λύραι παρακαλύμματι χρώμενος, ἀλλ᾿ ὡς μεγαλοπράγμων καὶ φιλοτύραννος ἐξωστρακίσθη καὶ παρέσχε τοῖς κωμικοῖς διατριβήν. ὁ γοῦν Πλάτων (fr. 191; I, 655 Kock) καὶ πυνθανόμενον αὐτοῦ τινα πεποίηκεν οὕτω·

> πρῶτον μὲν οὖν μοι λέξον, ἀντιβολῶ· σὺ γάρ,
> ὥς φασιν, [ὦ] Χίρων ἐξέθρεψας Περικλέα.

**A 5** = Platón, Alcibiades I; 118c

λέγεταί γέ τοι, ὦ Σώκρατες, οὐκ ἀπὸ τοῦ αὐτομάτου σοφὸς γεγονέναι, ἀλλὰ πολλοῖς καὶ σοφοῖς συγγεγονέναι καὶ Πυθοκλείδηι καὶ ᾽Αναξαγόραι· καὶ νῦν ἔτι τηλικοῦτος ὢν Δάμωνι σύνεστιν αὐτοῦ τούτου ἕνεκα.

**A 6** /1 = Aristotelés, Athen. r. 27, 4
πρὸς δὴ ταύτην τὴν χορηγίαν ἐπιλειπόμενος ὁ Περικλῆς τῆι οὐσίαι συμβουλεύσαντος αὐτῶι Δαμωνίδου τοῦ Οἴηθεν (ὃς ἐδόκει τῶν πολλῶν εἰσηγητὴς εἶναι τῶι Περικλεῖ· διὸ καὶ ὠστράκισαν αὐτὸν ὕστερον), ἐπεὶ τοῖς ἰδίοις ἡττᾶτο διδόναι τοῖς πολλοῖς τὰ αὑτῶν, κατεσκεύασε μισθοφορὰν τοῖς δικασταῖς.

**A 6** /2 = Plútarchos, Pericles 9
τρέπεται πρὸς τὴν τῶν δημοσίων διανομήν, συμβουλεύσαντος αὐτῶι Δημωνίδου τοῦ Οἴηθεν, ὡς ᾽Αριστοτέλης ἱστόρηκε.

**A 7** = Diogenés Laertios, Vitae philosophorum II, 19
ἀκούσας δὲ ᾽Αναξαγόρου κατά τινας, ἀλλὰ καὶ Δάμωνος, ὡς ᾽Αλέξανδρος ἐν Διαδοχαῖς ... (fr. 141; FHG III,243)

**A 8** = Galénos, De Hippocr. et Plat. V, 453 Müll.
Δάμων ὁ μουσικὸς αὐλητρίδι παραγενόμενος αὐλούσηι τὸ Φρύγιον νεανίσκοις τισὶν οἰνωμένοις καὶ μανικὰ ἄττα διαπραττομένοις ἐκέλευσεν αὐλῆσαι τὸ Δώριον· οἱ δὲ εὐθὺς ἐπαύσαντο τῆς ἐμπλήκτου φορᾶς.